22102952

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 2**

Friday 21 May 2010 (morning)

2 hours

INSTRUCTIONS TO CANDIDATES

- Do not open this examination paper until instructed to do so.
- Answer four questions from two genres only.





© International Baccalaureate Organization 2010

*Answer **four** questions from **two** genres **only**. These questions should be taken from the **two** genres you have studied.*

**Genre: Epic**

**Question 1. Homer *Iliad* 6.144–159**

Τὸν δ' αὖθ' Ἱππολόχοιο προσηύδα φαίδιμος υἱός·
"Τυδεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρῃ·
ὣς ἀνδρῶν γενεὴ ἣ μὲν φύει ἣ δ' ἀπολήγει.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,
ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν,
Σίσυφος Αἰολίδης· ὁ δ' ἄρα Γλαῦκον τέκεθ' υἱόν,
αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην·
τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν
ὤπασαν· αὐτάρ οἱ Προῖτος κακὰ μήσατο θυμῷ,
ὅς ῥ' ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
Ἀργείων· Ζεὺς γάρ οἱ ὑπὸ σκήπτρῳ ἐδάμασσε..."

(a) "Τυδεΐδη … ἀπολήγει. (lines 145–149). Explain the rhetorical features used here and their relevance to the context. Are lines 150–151 consistent with lines 145–149? Why, in your opinion, does this episode occur here? *[8 marks]*

(b) ἐπεὶ πολὺ φέρτερος ἦεν, (line 158). What conclusion do you draw about Proitos from these words? Is it consistent with what occurs after this passage? *[2 marks]*

(c) What **two** facts about the gods are mentioned in this passage? *[2 marks]*

**Genre: Epic**

**Question 2.	Homer *Iliad* 6.486–502**

“δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
οὐ γάρ τίς μ’ ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
μοῖραν δ’ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σ’ αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· πόλεμος δ’ ἄνδρεσσι μελήσει
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν.”
Ὣς ἄρα φωνήσας κόρυθ’ εἵλετο φαίδιμος Ἕκτωρ
ἵππουριν· ἄλοχος δὲ φίλη οἶκόνδε βεβήκει
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
αἶψα δ’ ἔπειθ’ ἵκανε δόμους εὖ ναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο, κιχήσατο δ’ ἔνδοθι πολλὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
οὐ γάρ μιν ἔτ’ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

(a) “δαιμονίη, … γένηται. (lines 486–489). Who is speaking to whom? What is the purpose of the speech and how likely is it to succeed? *[3 marks]*

(b) Scan lines 491–492 (ἱστόν τ’ … μελήσει). *[2 marks]*

(c) Ὣς ἄρα … ἵππουριν· (lines 494–495). Explain the significance of this action in its context. *[2 marks]*

(d) Translate οὐ γάρ μιν … Ἀχαιῶν. (lines 501–502). *[3 marks]*

**Genre: Historiography**

**Question 3. Thucydides 2.53.1–3**

Πρῶτόν τε ἦρξε καὶ ἐς τἆλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα. ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τε εὐδαιμόνων καὶ αἰφνιδίως θνῃσκόντων καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων. ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν διαφθαρήσεται· ὅτι δὲ ἤδη τε ἡδὺ πανταχόθεν τε ἐς αὐτὸ κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη.

(a) ἃ πρότερον ἀπεκρύπτετο (line 2). What was previously hidden and why? *[2 marks]*

(b) ὥστε ταχείας … ἡγούμενοι. (lines 5–7). Explain what is happening here and the reason given for it. *[3 marks]*

(c) τῷ δόξαντι καλῷ (line 8). What is this motive? Why is it no longer accepted? *[2 marks]*

(d) Translate ὅτι δὲ … κατέστη. (lines 10–11). *[3 marks]*

**Genre: Historiography**

**Question 4. Thucydides 2.41.2–5**

καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ᾽ οἵων κακοπαθεῖ οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ᾽ ἀξίων ἄρχεται. μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ᾽ ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια ξυγκατοικίσαντες. περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.

(a) *καὶ ὡς οὐ λόγων … σημαίνει.* (lines 13–16). What accusation does Thucydides wish to answer here? Which single word summarizes the essence of his case? *[2 marks]*

(b) *καὶ οὐδὲν προσδεόμενοι … βλάψει,* (lines 22–24). Explain the relevance of Homer here. *[2 marks]*

(c) Choose **four** examples of the rhetorical techniques from this passage which you have not used in your other answers and explain the construction and effect of each. *[8 marks]*

**Genre: Tragedy**

**Question 5. Sophocles *Oedipus Tyrannus* 1073–1085**

ΧΟ. τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ' ἀγρίας
ᾄξασα λύπης ἡ γυνή; δέδοιχ' ὅπως
μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναρρήξει κακά.
ΟΙ. ὁποῖα χρῄζει ῥηγνύτω· τοὐμὸν δ' ἐγώ,
κεἰ σμικρόν ἐστι, σπέρμ' ἰδεῖν βουλήσομαι.
αὕτη δ' ἴσως, φρονεῖ γὰρ ὡς γυνὴ μέγα,
τὴν δυσγένειαν τὴν ἐμὴν γ' αἰσχύνεται.
ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων
τῆς εὖ διδούσης οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
τοιόσδε δ' ἐκφὺς οὐκ ἂν ἐξέλθοιμ' ἔτι
ποτ' ἄλλος, ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.

(a) What has happened immediately before this passage, and why? *[2 marks]*

(b) ὁποῖα χρῄζει … τοὐμὸν γένος. (lines 1076–1085). Summarize any **two** points made by Oedipus in this speech and describe what they tell the audience about Oedipus' strengths and weaknesses. *[3 marks]*

(c) Translate **ἐγὼ δ' ἐμαυτὸν … ἀτιμασθήσομαι.** (lines 1080–1081). *[3 marks]*

(d) Scan lines 1084–1085 (τοιόσδε … γένος.). *[2 marks]*

**Genre: Tragedy**

**Question 6. Sophocles *Oedipus Tyrannus* 116–131**

ΟΙ. οὐδ᾽ ἄγγελός τις οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ᾽, ὅτου τις ἐκμαθὼν ἐχρήσατ᾽ ἄν;
ΚΡ. θνῄσκουσι γάρ, πλὴν εἷς τις, ὃς φόβωι φυγὼν
ὧν εἶδε πλὴν ἓν οὐδὲν εἶχ᾽ εἰδὼς φράσαι.
ΟΙ. τὸ ποῖον; ἓν γὰρ πόλλ᾽ ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
ΚΡ. λῃστὰς ἔφασκε συντυχόντας οὐ μιᾶι
ῥώμηι κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
ΟΙ. πῶς οὖν ὁ λῃστής, εἴ τι μὴ ξὺν ἀργύρωι
ἐπράσσετ᾽ ἐνθένδ᾽, ἐς τόδ᾽ ἂν τόλμης ἔβη;
ΚΡ. δοκοῦντα ταῦτ᾽ ἦν· Λαΐου δ᾽ ὀλωλότος
οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίγνετο.
ΟΙ. κακὸν δὲ ποῖον ἐμποδών, τυραννίδος
οὕτω πεσούσης, εἶργε τοῦτ᾽ ἐξειδέναι;
ΚΡ. ἡ ποικιλῳιδὸς Σφὶγξ τὸ πρὸς ποσὶ σκοπεῖν
μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο.

(a) What is the problem that Oedipus wished to solve? How did he attempt to do so up to this point in the play? *[2 marks]*

(b) Select from these lines **four** passages that reveal Oedipus' character and show how each does so. *[8 marks]*

(c) λῃστὰς … χερῶν. (lines 122–123). For the coherence of the plot it is essential that the sole survivor from the attack on Laius should have lied to Creon. What was the lie and why did the survivor make it up? *[2 marks]*

**Genre: Comedy**

**Question 7. Aristophanes *Frogs* 21–37**

ΔΙΟΝΥΣΟΣ
εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή,
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι;

ΞΑΝΘΙΑΣ
οὐ γὰρ φέρω 'γώ;

ΔΙΟΝΥΣΟΣ
πῶς φέρεις γὰρ ὅς γ' ὀχεῖ;

ΞΑΝΘΙΑΣ
φέρων γε ταυτί.

ΔΙΟΝΥΣΟΣ
τίνα τρόπον;

ΞΑΝΘΙΑΣ
βαρέως πάνυ.

ΔΙΟΝΥΣΟΣ
οὔκουν τὸ βάρος τοῦθ' ὃ σὺ φέρεις οὔνος φέρει;

ΞΑΝΘΙΑΣ
οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.

ΔΙΟΝΥΣΟΣ
πῶς γὰρ φέρεις, ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;

ΞΑΝΘΙΑΣ
οὐκ οἶδ'· ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.

ΔΙΟΝΥΣΟΣ
σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὐ φῄς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.

ΞΑΝΘΙΑΣ
οἴμοι κακοδαίμων· τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
ἦ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.

ΔΙΟΝΥΣΟΣ
κατάβα, πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμὶ τῆσδ', οἷ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον, παῖ, ἠμί, παῖ.

(a) Describe **three** things about the travel and carrying arrangements of Dionysus and Xanthias which contribute substantially to the humour of the opening scene. *[3 marks]*

(b) εἶτ' οὐχ … φέροι; (lines 21–24). Explain Dionysus' suggestion here. Why was the suggestion made? *[2 marks]*

(c) υἱὸς Σταμνίου, (line 22). Instead of Σταμνίου, what would the audience expect to hear? Why is the word both appropriate and inappropriate? *[3 marks]*

(d) οἴμοι … μακρά. (lines 33–34). Explain Xanthias' argument. *[2 marks]*

**Genre: Comedy**

**Question 8. Aristophanes *Frogs* 1467–1481**

ΠΛΟΥΤΩΝ

*κρίνοις ἄν.*

ΔΙΟΝΥΣΟΣ

*αὕτη σφῷν κρίσις γενήσεται.*
*αἱρήσομαι γὰρ ὅνπερ ἡ ψυχὴ θέλει.*

ΕΥΡΙΠΙΔΗΣ

*μεμνημένος νυν τῶν θεῶν οὓς ὤμοσας*
*ἦ μὴν ἀπάξειν μ' οἴκαδ', αἱροῦ τοὺς φίλους.*

ΔΙΟΝΥΣΟΣ

*ἡ γλῶττ' ὀμώμοκ', Αἰσχύλον δ' αἱρήσομαι.*

ΕΥΡΙΠΙΔΗΣ

*τί δέδρακας, ὦ μιαρώτατ' ἀνθρώπων;*

ΔΙΟΝΥΣΟΣ

*ἐγώ;*
*ἔκρινα νικᾶν Αἰσχύλον. τιὴ γὰρ οὔ;*

ΕΥΡΙΠΙΔΗΣ

*αἴσχιστον ἔργον προσβλέπεις μ' εἰργασμένος;*

ΔΙΟΝΥΣΟΣ

*τί δ' αἰσχρόν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;*

ΕΥΡΙΠΙΔΗΣ

*ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;*

ΔΙΟΝΥΣΟΣ

*τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,*
*τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κῴδιον;*

ΠΛΟΥΤΩΝ

*χωρεῖτε τοίνυν, ὦ Διόνυσ', εἴσω.*

ΔΙΟΝΥΣΟΣ

*τί δαί;*

ΠΛΟΥΤΩΝ

*ἵνα ξενίσω<μεν> σφω πρὶν ἀποπλεῖν.*

ΔΙΟΝΥΣΟΣ

*εὖ λέγεις*
*νὴ τὸν Δί'· οὐ γὰρ ἄχθομαι τῷ πράγματι.*

(a) *μεμνημένος … φίλους.* (lines 1469–1470). For what **two** reasons is Euripides confident that he will be successful? *[2 marks]*

(b) *ἡ γλῶττ' ὀμώμοκ',* (line 1471). How do these words relate to the answer to question (a)? *[2 marks]*

(c) Choose **four** examples from the passage which are intended to provoke a humorous response, and explain how each succeeds. *[8 marks]*

**Genre: Philosophy**

**Question 9. Plato *Crito* 46b1–c6**

ΣΩ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ νῦν πρῶτον ἀλλὰ καὶ ἀεὶ τοιοῦτος οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὴ λόγους οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ οὕσπερ καὶ πρότερον· ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι συγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα καὶ χρημάτων ἀφαιρέσεις.

(a) Ὦ φίλε Κρίτων, … χαλεπωτέρα. (lines 1–3). What has Crito been recommending immediately before this passage? What **two** possible immediate reactions does Socrates consider? *[3 marks]*

(b) ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. (lines 5–6). What possible weakness do you detect in this argument? *[2 marks]*

(c) τοὺς δὴ λόγους … καὶ πρότερον· (lines 6–9). Is this a sound basis on which to construct an argument, or evidence of Socrates' stubborn nature? *[3 marks]*

(d) δεσμοὺς … θανάτους … χρημάτων ἀφαιρέσεις. (lines 13–14). Comment on the order and grammatical form of these words. *[2 marks]*

**Genre: Philosophy**

**Question 10. Plato *Crito* 48b11–d7**

Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων Ἀθηναίων ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα, εἰ δὲ μή, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε ἀναλώσεως χρημάτων καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτεινύντων καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τ' ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νυνδὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσιν καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, ὅρα δὲ τί δρῶμεν.

(a) Translate Οὐκοῦν ἐκ τῶν … ἢ οὐ δίκαιον· (lines 1–3). *[2 marks]*

(b) Choose **four** points from Socrates' arguments for not choosing exile, and consider how persuasive each is. You should identify and discuss your examples with close reference to the Greek text. *[8 marks]*

(c) Καλῶς μέν μοι δοκεῖς … τί δρῶμεν. (lines 16–17). Basing your answer on Crito's comment, how far do you think that Socrates has truly persuaded Crito? *[2 marks]*